Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: jew-ab

*Κλεάνθης ὁ Ἀσσεύς* · Cleanthes of Assos

# Hymn to Zeus

*Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic (phi, frg)
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Συναγωγή* Collection
**Affiliation:** Stoic

1 Κύδιστ’ ἀθανάτων, πολυώνυμε παγκρατὲς αἰεί, Ζεῦ φύσεως ἀρχηγέ, νόμου μετὰ πάντα κυβερνῶν, χαῖρε· σὲ γὰρ καὶ πᾶσι θέμις θνητοῖσι προσαυδᾶν. Ἐκ σοῦ γὰρ γενόμεσθα, θεοῦ μίμημα λαχόντες μοῦνοι, ὅσα ζώει τε καὶ ἕρπει θνήτ’ ἐπὶ γαῖαν· τῷ σε καθυμνήσω, καὶ σὸν κράτος αἰὲν ἀείσω. Σοὶ δὴ πᾶς ὅδε κόσμος ἑλισσόμενος περὶ γαῖαν πείθεται ᾗ κεν ἄγῃς, καὶ ἑκὼν ὑπὸ σεῖο κρατεῖται· τοῖον ἔχεις ὑποεργὸν ἀνικήτοις ἐνὶ χερσὶν ἀμφήκη πυρόεντ’ αἰειζώοντα κεραυνόν· τοῦ γὰρ ὑπὸ πληγῆς φύσεως πάντ’ ἔργα βέβηκεν, ᾧ σὺ κατευθύνεις κοινὸν λόγον, ὃς διὰ πάντων φοιτᾷ μιγνύμενος μεγάλῳ μικροῖς τε φάεσσιν .... [ὡς τόσσος γεγαὼς ὕπατος βασιλεὺς διὰ παντός.] Οὐδέ τι γίγνεται ἔργον ἐπὶ χθονὶ σοῦ δίχα, δαῖμον, οὔτε κατ’ αἰθέριον θεῖον πόλον, οὔτ’ ἐνὶ πόντῳ, πλὴν ὁπόσα ῥέζουσι κακοὶ σφετέραισιν ἀνοίαις. Ἀλλὰ σὺ καὶ τὰ περισσὰ ἐπίστασαι ἄρτια θεῖναι, καὶ κοσμεῖν τἄκοσμα, καὶ οὐ φίλα σοὶ φίλα ἐστίν. Ὧδε γὰρ εἰς ἓν πάντα συνήρμοκας ἐσθλὰ κακοῖσιν, ὥσθ’ ἕνα γίγνεσθαι πάντων λόγον αἰὲν ἐόντα, ὃν φεύγοντες ἐῶσιν ὅσοι θνητῶν κακοί εἰσιν, δύσμοροι, οἵ τ’ ἀγαθῶν μὲν ἀεὶ κτῆσιν ποθέοντες οὔτ’ ἐσορῶσι θεοῦ κοινὸν νόμον οὔτε κλύουσιν, ᾧ κεν πειθόμενοι σὺν νῷ βίον ἐσθλὸν ἔχοιεν· αὐτοὶ δ’ αὖθ’ ὁρμῶσιν ἄνοι κακὸν ἄλλος ἐπ’ ἄλλο, οἳ μὲν ὑπὲρ δόξης σπουδὴν δυσέριστον ἔχοντες, οἳ δ’ ἐπὶ κερδοσύνας τετραμμένοι οὐδενὶ κόσμῳ ἄλλοι δ’ εἰς ἄνεσιν καὶ σώματος ἡδέα ἔργα ...... ἐπ’ ἄλλοτε δ’ ἄλλα φέρονται, σπεύδοντες μάλα πάμπαν ἐναντία τῶνδε γενέσθαι. Ἀλλὰ Ζεῦ πάνδωρε κελαινεφὲς ἀργικέραυνε, ἀνθρώπους ῥύου 〈μὲν〉 ἀπειροσύνης ἀπὸ λυγρῆς, ἣν σύ, πάτερ, σκέδασον ψυχῆς ἄπο, δὸς δὲ κυρῆσαι γνώμης, ᾗ πίσυνος σὺ δίκης μέτα πάντα κυβερνᾷς, ὄφρ’ ἂν τιμηθέντες ἀμειβώμεσθά σε τιμῇ, ὑμνοῦντες τὰ σὰ ἔργα διηνεκές, ὡς ἐπέοικε θνητὸν ἐόντ’, ἐπεὶ οὔτε βροτοῖς γέρας ἄλλο τι μεῖζον οὔτε θεοῖς, ἢ κοινὸν ἀεὶ νόμον ἐν δίκῃ ὑμνεῖν.

2 Ἄγου δέ μ’, ὦ Ζεῦ, καὶ σύ γ’ ἡ πεπρωμένη, ὅποι ποθ’ ὑμῖν εἰμὶ διατεταγμένος, ὡς ἕψομαί γ’ ἄοκνος· ἢν δὲ μὴ θέλω κακὸς γενόμενος, οὐδὲν ἧττον ἕψομαι.

3 Τἀγαθὸν ἐρωτᾷς μ’ οἷον ἔστ’; ἄκουε δή· τεταγμένον, δίκαιον, ὅσιον, εὐσεβές, κρατοῦν ἑαυτοῦ, χρήσιμον, καλόν, δέον, αὐστηρόν, αὐθέκαστον, αἰεὶ συμφέρον, ἄφοβον, ἄλυπον, λυσιτελές, ἀνώδυνον, ὠφέλιμον, εὐάρεστον, ἀσφαλές, φίλον, ἔντιμον, 〈εὐχάριστον〉, ὁμολογούμενον, εὐκλεές, ἄτυφον, ἐπιμελές, πρᾶον, σφοδρόν, χρονιζόμενον, ἄμεμπτον, αἰεὶ διαμένον.

4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μὴ πρὸς δόξαν ὅρα, ἐθέλων σοφὸς αἶψα γενέσθαι, μηδὲ φοβοῦ πολλῶν ἄκριτον καὶ ἀναιδέα βάξιν· οὐ γὰρ πλῆθος ἔχει συνετὴν κρίσιν, οὔτε δικαίαν οὔτε καλήν, ὀλίγοις δὲ παρ' ἀνδράσι τοῦτό κεν εὕροις.

5 Ἀνελεύθερος πᾶς ὅστις εἰς δόξαν βλέπει, ὡς δὴ παρ' ἐκείνης τευξόμενος καλοῦ τινος.

6 Κακῶς ἀκούειν κρεῖσσον ἢ λέγειν κακῶς.

7 [[Λογισμός]] Τί ποτ' ἔσθ' ὃ βούλει, Θυμέ; τοῦτό μοι φράσον.

7 [[Θυμός]] Λέγω, Λογισμέ· πᾶν ὃ βούλομαι ποιεῖν.

7 [[Λ]] Ἦ βασιλικόν γε· πλὴν ὅμως εἶπον πάλιν.

7 [[Θ]] Ὧν ἂν ἐπιθυμῶ, ταῦθ' ὅπως γενήσεται. Ὅστις ἐπιθυμῶν ἀνέχετ' αἰσχροῦ πράγματος, οὗτος ποιήσει τοῦτ', ἐὰν καιρὸν λάβῃ. Πόθεν ποτ' ἆρα γίνεται μοιχῶν γένος; ἐκ κριθιῶντος ἀνδρὸς ἐν ἀφροδισίοις. Κακουργότερον οὐδὲν διαβολῆς ἔστι πω· λάθρα γὰρ ἀπατήσασα τὸν πεπεισμένον μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org